# Περὶ ἀπαριθμήσεως τῶν ἡμερῶν κατ᾽ αὐτὲς ἤτοι περὶ καλενδῶν, εἰδῶν, καὶ νόνων.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΠΕΤΣΙΟΣ

Τοιῦτος μενῦν ὁ τῶν μηνῶν καὶ τῦ ἔτυς κατὰ Ῥωμαίυς διορισμός. παρ᾽ ἐκείνων δὲ καὶ εἰς ἡμᾶς διεφοίτησε τὰ ὑπὸ Ἰουλίου Καίσαρος νομοθετηθέντα, βραχύ τι μέντοι παρηλλαγμένα ὑπ᾽ Αὐγύςου Καίσαρος, κατά τε τὰ ὀνόματα τῶν μηνῶν, καὶ τὴν ποσότητα τῶν ἐν αὐτοῖς ἡμερῶν. ὁ γὰρ Αὔγουςος ζηλώσας τὸν Ἰύλιον ὁμώνυμον ἑαυτῷ πεποιηκότα τὸν κουϊντίλιον, ἐν ᾧ ἐτέχθη, μετέδωκε κᾳὐτὸς τὴν ἰδίαν ἐπωνυμίαν τῷ σεξτιλίῳ μηνὶ, καλέσας αὐτὸν Αὔγουςον, τῷ πλεῖςα κατὰ τῦτον τὸν μῆνα ζήλυ καὶ μνήμης ἄξια διαπράξασθαι, ἤτοι ὑπατεῦσαι τὸ πρῶτον, τρὶς θριαμβεῦσαι, τὴν Αἴγυπτον ὑπήκοον Ῥωμαίοις ποιήσασθαι, καὶ πέρας ἐπιθεῖναι τοῖς ἐμφυλίοις πολέμοις. ἀλλὰ τύτυ τριακονθημέρυ ὑπάρχοντος, ἵνα μηδὲ κατὰ τῦτον ἧττων ᾖ τῦ Ἰυλίυ, προσέθηκεν αὐτῷ ἡμέραν μίαν. ἐπεὶ δ᾽ ἐκ τύτυ συνέβη τρεῖς μῆνας ἐφεξῆς ἐκ τριάκοντα καὶ μιᾶς συγκεῖσθαι ἡμερῶν, ἤτοι Ἰύλιον, αὔγυςον, Σεπτέμβριον. ἀπὸ γὰρ μαρτίυ πρότερον ἀρχόμενοι συνίςαντο ἐκ 31, καὶ 30 ἐναλλὰξ ἡμερῶν, τριακονθημέρυς συςησάμενος τὸν Σεπτέμβριον καὶ τὸν Νοέμβριον, μιᾷ τύτων ὑπερέχειν τὸν Ὀκτώβριον, καὶ Δεκέμβριον ἐποίησεν. ἡ τῶν ἡμερῶν δὲ κατ᾽ αὐτὰς ἀπαρίθμησις ξένη τις δοκεῖ εἶναι καὶ ἀλ-

Ε. Π. της κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

λόκοτος. ου γὰρ κατὰ τὴν φυσικὴν πρόοδον τῶν ἀριθμῶν τὰς ἡμέρας ἀριθμοῦσιν, ὁμοίως τοῖς ἄλλοις, οὐδὲ εἰς ἑβδομάδας αὐτὰς διανέμουσιν, ἀλλὰ τοὺς μῆνας καλένδαις, καὶ εἰδοῖς, καὶ νόναις τέμνοντες, ταύταις δὴ τὰς τῶν μηνῶν ἡμέρας ὑποσημαίνονται· καὶ καλένδας μὲν καλοῦσι τὰς παρὰ τοῖς ἕλλησι νουμηνίας, νόνας δὲ τὰς ἑβδόμας, οὐ μὴν δὲ ἁπάντων, ἀλλὰ τῶν τεσσάρων τούτων μηνῶν φημὶ μαρτίου, μαΐου, ἰουλίου καὶ ὀκτωβρίου, εἰδοὺς δὲ τὴν δεκάτην πέμπτην ἑκάστου αὐτῶν. τῶν δὲ λοιπῶν μηνῶν ἑκάστου τὴν μὲν πέμπτην νόνας, τὴν δὲ δεκάτην τρίτην εἰδοὺς καλοῦσιν. ἡνίκα τοίνυν βούλονταί τι δηλῶσαι τῇ πρώτῃ οἱουδήτινος μηνὸς πραχθὲν, δὸς εἰπεῖν τοῦ μαρτίου, ἐν καλένδαις μαρτίου λέγουσιν, ἐὰν δὲ τῇ δευτέρᾳ, ἢ τρίτῃ, ἢ τετάρτῃ, ἢ πέμπτῃ τῶν εἰρημένων τεττάρων μηνῶν, τῇ ἕκτῃ πρὸ νονῶν μαρτίου, ἢ πέμπτῃ, ἢ τετάρτῃ, ἢ τρίτῃ προστιθέντες ἑκάστῃ καὶ τὸ πρὸ νονῶν μαρτίου. ἐὰν δὲ τῇ ἕκτῃ, τὸ πρὸ νονῶν μαρτίου μόνον λέγουσιν, ἐν δὲ τῇ ἑβδόμῃ τὸ ἐν νόναις. ὡσαύτως τὰς ἐφεξῆς τῶν νονῶν ἡμέρας ἄχρι εἰδῶν ἀπὸ τούτων κατωνόμαζον λέγοντες τῇ ὀγδόῃ, ἐννάτῃ, δεκάτῃ, ἑνδεκάτῃ, δωδεκάτῃ, δεκάτῃ τρίτῃ, οὐχ ἁπλῶς δὲ, ἀλλὰ τὸ πρὸ εἰδῶν ἑκάστῃ προστιθέντες, τῇ τε δεκάτῃ τετάρτῃ τὸ πρὸ εἰδῶν μόνον, καὶ τῇ δεκάτῃ πέμπτῃ τὸ ἐν εἰδοῖς ἀπονέμοντες. τὸν αὐτὸν τρόπον καὶ τὰς λοιπὰς ἀπὸ τῶν καλενδῶν τοῦ ἑπομένου μηνὸς ὑποσημαίνονται, οἷον εἰπεῖν τὴν δεκάτην ἕκτην μαρτίου δεκάτην ἑβδό-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΗΣ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΜΕΛΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε. ΚΑ της Ε.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μην, πρὸ καλενδῶν Ἀπριλλίων ὀνομάζουσι, δῆλον ὅτι καὶ τὴν πρώτην τοῦ Ἀπριλλίου ἐν τῇ ἀπαριθμήσει λαμβάνοντες. ἀλλὰ ταῦτα μὲν ἐπὶ τῶν τεττάρων ποιοῦσι μηνῶν, ἐπὶ δὲ τῶν ἐχόντων τὰς νόνας κατὰ τὴν πέμπτην, τάς τε εἴδους κατὰ τὴν δεκάτην τρίτην, τρεῖς μόνας ἡμέρας ἐφ᾽ ἑκάστου ἀπὸ τῶν νονῶν παραδηλοῦσι, τὴν δευτέραν, τρίτην, καὶ τετάρτην, ἑπτὰ δὲ ἐκ τῶν Εἰδῶν τὴν ἕκτην, ἑβδόμην, ὀγδόην, ἐννάτην, δεκάτην, δεκάτην πρώτην καὶ δεκάτην δευτέραν, τὰς δὲ λοιπὰς, ὥσπερ καὶ ἐπ᾽ ἐκείνων ἐκ τῶν καλενδῶν τοῦ ἑξῆς μηνός. ταῦτ᾽ ἄρα συμβαίνει τούτους οὐχ᾽ ὁμοίως ἡμῖν τε καὶ ἄλλοις τὰς κλήσεις τῶν ἡμερῶν ἔχειν ἐφ᾽ ἁπάντων τῶν μηνῶν τῶν τε τριακονθημέρων, καὶ τῶν μιᾷ αὐτοὺς ὑπερεχόντων. αὐτίκα γὰρ ἡμεῖς τοῦ τε μαρτίου, καὶ τοῦ Απριλλίου τὴν ις΄. τῷ αὐτῷ ἀριθμητικῷ ὀνόματι σημαίνομεν ἑκατέραν ις΄. ἀποκαλοῦντες· ἐκεῖνοι δὲ τοῦ μὲν μαρτίου τὴν ις΄, ιζ΄ πρὸ καλενδῶν Ἀπριλλίου λέγουσιν, οὐκέτι δὲ καὶ τὴν ις΄. αὐτοῦ ιζ΄. πρὸ καλενδῶν Μαΐων, ἀλλὰ ις΄. πρὸ καλ. Μαΐων. αἴτιον ταύτης τῆς διαφορᾶς, ὅτι ἐπὶ μὲν τοῦ μαρτίου ἀπὸ τῆς ις΄. μέχρι τῆς πρώτης Ἀπριλλίου συναριθμουμένης μέντοι γε καὶ αὐτῆς πρώτης, δέκα καὶ ἑπτὰ ἡμέραι, ἀπὸ δὲ τῆς ις΄ Ἀπριλλίου ἄχρι τῆς πρώτης Μαΐου ἓξ πρὸς ταῖς δέκα ἀριθμοῦνται, τοῦτ᾽ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ἀναλόγως εὑρίσκεται. περὶ δὲ τῆς τῶν ὀνομάτων τούτων παραγωγῆς τοιάδε φέρεται, οὐ συνῳδὰ τοῖς ἀρχαίοις τῶν νεωτέρων φθεγγομένων. Θεόδωρος γὰρ ὁ Γαζῆς, ἐν τῷ περὶ μηνῶν αὐτοῦ

φιλοπονήματι ὀυτωσὶ περὶ τούτων γράφει κατὰ
„ Πλούταρχον. ὀυμὴν ἀλλὰ καὶ Ῥωμαῖοι ὡς Πλούταρ-
„ χος ἱστορεῖ, τὴν εἰς τρία διαίρεσιν τοῦ μηνὸς πρὸς
„ τὰς μεγίστας τρεῖς διαφορὰς τῆς Σελήνης τυγ-
„ χάνουσι πρότερον πεποιηκότες. καλένδας μὲν τὴν
„ νουμηνίαν καλέσαντες, ὅτι περὶ τὴν σύνοδον οὖσα
„ τόθ᾽ ἡ σελήνη, ὥσπερ λέληθεν, ἐπιλελοιπότος
„ δὴ παντελῶς τοῦ φωτός· τὸ γὰρ κλὰμ Ῥωμαί-
„ οις τὸ λάθρα διασημαίνει." συνάγεται τοίνυν
κατ᾽ αὐτὸν προφανῶς ἐκ τοῦ κλὰμ τὰς καλένδας
παράγεσθαι. „ἐφεξῆς δὲ φησὶ, νώνας δὲ ὅταν κα-
„ ταφανὴς πρῶτον ἀπὸ δυσμῶν γένηται νέα. Εἰ-
„ δοὺς δὲ ὅταν πανσέληνος οὖσα ἐυειδεστέρα τὴν ὄψιν
„ ἦ· ἀλλ᾽ ὅμως ὕστερον, καίτοι καθ᾽ ἥλιον ἄγοντες
„ τοὺς μῆνας, ὁμοίως ὁρίζοντες τὸν χρόνον καλέν-
„ δας, καὶ νώνας, καὶ Εἰδοὺς ἔτι καλοῦσιν ὀνόμασι
„ καταχρώμενοι, οἷς πρότερον ἄγοντες κατὰ σελή-
„ νην ἐχρῶντο κυρίως." καὶ ταῦτα μὲν ἐκεῖνος. τῶν
δὲ νεωτέρων οἱ πλεῖστοι τὸ τῶν καλενδῶν ὄνομα ἀπὸ
τοῦ καλῶ παρῆχθαι φασὶ ῥήματος, καίτοι τοῖς
ἕλλησιν οὐδόλως ἐν χρήσει τοὔνομα τοῦτο γενόμενον,
ἢ τῷ χρόνῳ ἴσως διέφθαρται. ἔθος γὰρ ἦν τοῖς
Ῥωμαίοις ἐν ταῖς νουμηνίαις καλεῖσθαι ὑπὸ τῶν ἐν
τέλει τὸν δῆμον, καὶ τὰ πρὸς διοίκησιν τῶν κοινῶν καὶ
τῆς πολιτείας δόξαντα ἐνωτίζεσθαι. τὸ δὲ τῶν
νονῶν παρὰ τοῦ νόνουμ, ὃ σημαίνει τὸ ἔννατον εἰ-
λῆφθαι φασὶν, αἱ γὰρ νόναι τῇ ἐξ Ειδῶν ἐννάτῃ
συμπίπτουσι, καὶ τὸ τῶν ειδῶν ἀπὸ τοῦ κατ᾽ αὐτοὺς
ἀχρήστου ῥήματος Ἰδουάρε, τουτέστι διαιρεῖν. ὅτι κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Κ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

ταύτας τὰς ἡμέρας διχοτομῦνται οἱ μῆνες, εἰ καὶ μὴ πάντες, ἀπόχρη μέντοιγε ἐνίοις τῦτο συμβὰν αἴτιον γενέσθαι τῆς τοιαύτης τῶν ἡμερῶν κλήσεως.

## Πόρισμα.

Ἐκ τῶν εἰρημένων συνάγεται, ὅθεν εἴληπται τὸ τῦ βισέξτυ ὄνομα· τῶν γὰρ Ῥωμαίων καθ᾽ ἑκάστην τετραετίαν τὰς ἐπὶ τῶν τριῶν πρώτων ἐτῶν παραλειπομένας ὥρας τῷ τετάρτῳ λογιζομένων, τὴν δὲ προσθήκην ταύτην ποιῦντων ἐφεξῆς τῆς κδ΄. τῦ Φευρυαρίυ, συνέβαινεν αὐτοῖς καθ᾽ ἑκάστην τετραετίαν ἐπὶ τῦ τελευταίυ ταύτης ἔτυς δὶς λέγειν τὸ πρὸ καλενδῶν μαρτίυ, ἤτοι κατά τε τὴν κδ΄. καὶ τὴν μετ᾽ αὐτὴν ἐμβόλιμον. ἐκ τῦ βὶς τοίνυν καὶ σέξτυμ τυτέςι τῦ δὶς καὶ ἕκτον καθ᾽ ἕλληνας, συνετέθη ἡ Φωνὴ αὕτη βίσεξτος, καὶ τὸ ἔτος τὴν κλῆσιν ταύτην ἐδέξατο, ὡς ἔχον ἐν ἑαυτῷ τὴν προσθήκην τῆς ἡμέρας κατὰ τὸν παρ᾽ ἐκείνοις διορισμόν.

## Περὶ Αἰγυπτίυ ἔτυς ἢ τῦ κατὰ Ναβονασάρ.

Οἱ Αἰγύπτιοι κατ᾽ ἀρχὰς μηνιαῖον ἐποίυν τὸ ἔτος, ἐσύςερον δὲ τρίμηνον κατὰ Πλίνιον καὶ Πλύταρχον, ἀλλὰ καὶ δωδεκάμηνον, ἔσχατον δὲ ἐκ 360 ἡμε-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρῶν τὸ δωδεκάμηνον συνιςάμενον. ὑπὸ Ἀσὲθ δὲ τȣ λβ΄. βασιλέως Αἰγύπτȣ ϗ ἕτεραι πέντε ἡμέραι τῷ πέρατι τȣ͂ ἔτȣς προσετίθησαν, ἃς δὴ ἐπαγομένας ἐκάλȣν· ἀλλ᾽ ὅτε Ῥωμαίοις ὑπετάγησαν, τὴν κατ᾽ αὐτȣ̀ς ἐνιαύσιον ἀπαρίθμησιν τῶν ἡμερῶν ἐδέξαντο, βραχύ τι παραλλάττοντες, τȣ̀ς γὰρ οἰκείȣς μῆνας μετὰ τῶν ἐπαγομένων ἡμερῶν τηρήσαντες προσετίθȣν ὁμοίως τοῖς Ῥωμαίοις ἐφ᾽ ἑκάςης τετραετίας ἐμβόλιμον ἡμέραν μεταξὺ τῆς κη΄, ϗ κθ΄. τȣ͂ Αὐγȣ́ςȣ μηνὸς, ὅτι ἡ μὲν πέρας, ἡ δὲ ἀρχὴ τοῦ κατ᾽ αὐτȣ̀ς ὑπῆρχεν ἔτȣς. συνέβη τὴν τοιαύτην προσθήκην πρῶτον γενέσθαι ȣ̓κ ἐν βισέξτῳ κατὰ Ῥωμαίȣς ἔτει, ἀλλ᾽ ἐν τρίτῳ μετὰ βίσεξτον, ὅπερ ϗ Ἀκτιακὸν κέκληται, διὰ τὸ ȣ̓ πολλῷ ὕςερον τῆς ἐν Ἀκτίῳ τȣ͂ Αὐγȣ́σου Καίσαρος νίκης τῷ τοιȣ́τῳ ἔτει αὐτȣ̀ς χρήσασθαι.

## Πόρισμα.

Ἐκ τȣ́τȣ δῆλον, ὅτι τὸ Αἰγύπτιον ἔτος πρὸ τῆς προσθήκης ταύτης, μιᾷ ἡμέρᾳ ἔλλειπον τȣ͂ Ῥωμαϊκȣ͂, ȣ̓κ ἐπὶ τῆς αὐτῆς ἡμέρας τȣ͂ αὐτȣ͂ ἐλάμβανε τὴν ἀρχὴν, ἀλλὰ καθ᾽ ἑκάςην τετραετίαν τὰς ἡμέρας παρήμειβεν, ὥςε κατὰ μίαν ἁπάσας διελθὸν ἐν χιλίοις τετρακοσίοις ϗ ἑξήκοντα ἔτεσι τὴν α΄. ἀρχὴν καταλαβεῖν· ταῦτα δὴ τὰ 1464 ἔτη μέγας, ϗ κυνικὸς, ϗ περίοδος σωθιακὴ ἐκλήθησαν, ὡς ἐκ τῆς ἐπιτολῆς τȣ͂ κυνὸς ἀςέρος, ὃς Σώθης κατ᾽ Αἰγυπτίȣς, καθ᾽ Ἕλληνας δὲ Σύριος, λέγεται λαβόντα

ΙΩΑΝΝΙΝΑ 2006

τὴν ἀρχήν. τοῖς τοιούτοις Αἰγυπτίοις ἔτεσι κέχρηται καὶ Πτολεμαῖος ἐν τῷ περὶ μεγάλης συντάξεως. ἀνθ᾽ ὅτου οὐ παροπτέα ταῦτα τῷ μέλλοντι τὰς τῶν νεωτέρων παρατηρήσεις ταῖς τῶν ἀρχαιοτέρων παραβάλλειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ ἔτους Αἰθιοπικοῦ.

Τὸ Αἰθιοπικὸν ἔτος ταυτὸν ἐστὶ τῷ Αἰγυπτίῳ μόνοις διαφέρον τοῖς τῶν μηνῶν ὀνόμασι.

| | | | | | |
|---|---|---|---|---|---|
| Μῆνες τῶν Αἰγυπτίων. | Θώθ. | 30. | Μῆνες τῶν Αἰθιόπων. | Μασκαράμ. | 30. |
| | Φαωφί. | 30. | | Τυκύμτ. | 30. |
| | Ἀθύρ. | 30. | | Ὑδάρ. | 30. |
| | Χοϊάκ. | 30. | | Τυσάς. | 30. |
| | Τυβί. | 30. | | Τύρ. | 30. |
| | Μεχείρ. | 30. | | Ἰακατίτ. | 30. |
| | Φαμενώθ. | 30. | | Μαγαβίτ. | 30. |
| | Φαρμουθί. | 30. | | Μιϊαζία. | 30. |
| | Παχών. | 30. | | Γινβάτ. | 30. |
| | Παυνί. | 30. | | Σύνε. | 30. |
| | Ἐπηφί. | 30. | | Ἀμλε. | 30. |
| | Μεσορί. | 30. | | Ναχάσε. | 30. |
| | Ἐπαγόμεναι 5. | | | Ἐπαγόμεναι 5. | |

## Περὶ ἔτους Συριακοῦ.

Τὸ τῶν Σύρων ἔτος, ἡλιακὸν ἐστὶ καὶ δωδεκάμηνον, παραλλάττον τοῦ ῥωμαϊκοῦ κατά τε τὴν ἀρχήν, ἄρχεται γὰρ ἐκ τῆς πρώτης τοῦ ὀκτωβρίου, καὶ τὰς

Ε.Ε.Ν.Φ. τμ. Φ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κλήσεις τῶν μηνῶν, σῶζον μέντοι τὴν ποσότητα τῶν ἐν αὐτοῖς ἡμερῶν.

Μῆνες Σύρων.

| | | |
|---|---|---|
| Τισρὶν πρῶτος. | 31. | Ὀκτώβριος. |
| Τισρὶν δεύτερος. | 30. | Νοέμβριος. |
| Κανοὺν πρῶτος. | 31. | Δεκέμβριος. |
| Κανοὺν δεύτερος. | 31. | Ἰαννουάριος. |
| Σαβάτ. | 28. | |
| Ἐν βισέξτοις. | 29. | Φευρουάριος. |
| Ἀδάρ. | 31. | Μάρτιος. |
| Νισάν. | 30 | Ἀπρίλλιος. |
| Αἰϊάρ. | 31. | Μάϊος. |
| Ναζιράμ. | 30. | Ἰούνιος, |
| Ταμούζ. | 31 | Ἰούλιος. |
| Ἀβ. | 31. | Αὔγουστος. |
| Ἐλούλ. | 30. | Σεπτέμβριος. |

Μῆνες Περσῶν.

| | |
|---|---|
| Φρουνδὶν ἢ Φερβαρδίν. | 30. |
| Ἀρδεπάσχτ. ἀρδαβαίστ. | 30. |
| Κορδάδ. | 30. |
| Θὶρ, ἐσφανδαμόδ. | 30. |
| Μορδάδ. | 30. |
| Σχααρὶρ σχαχριβάρ. | 30. |
| Μααρὰ μαχίρ. | 30. |
| Ἀβάν. | 30. |
| Ἀδάρ. | 30. |
| Δί. | 30. |
| Βεεμάν. | 30. |
| Ἀσπίρερ. | 30. |

Ἐπαγόμεναι 5, ἐν πᾶσι προσετίθουν τὸ Μάϊ, ὅ ἐστὶ μήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Περὶ ἔτȣς Περσικȣ̃.

Οἱ Πέρσαι τὸ πρότερον ἔτει ἐχρῶντο παραπλησίῳ τῷ Αἰγυπτίῳ ἐκ καλενδῶν Σεπτεμβρίων ἔχοντι τὴν ἀρχὴν, ἐκ μηνῶν δώδεκα τριακονθημέρων, ἡμερῶν δὲ τριακοσίων ἑξήκοντα, καὶ πέντε ἐπαγομένων, Μȣσερακὰ κατ' αὐτȣ̀ς λεγομένων, συνισάμενον. ἀλλ' ἐν τοῖς ὑςέροις χρόνοις ἐκλήθη Ἰεδεγερδικὸν, εἰς διαφορὰν τȣ̃, ὅπερ αὐτοὶ κατὰ τὸ ͵αοθ'. ἔτος τὸ σωτήριον ἀςρονομικώτερον συνεςήσαντο, ȣ̓ τῆς τυχȣ́σης ἀποδοχῆς ὑπὸ τῶν νεωτέρων ἀξιȣ́μενον, ὡς ἐξ ἡμερῶν 365ⁿ, 5ʷ, 49', 15", 0‴, 48⁗, συνεςηκὸς, καὶ μᾶλλον τῶν ἄλλων προσεγγίζον τῷ ἀληθεῖ.

# Περὶ ἔτȣς Ἀττικȣ̃.

Ἀθηναῖοι δὲ καὶ τῶν ἄλλων ἑλλήνων συχνοὶ ἦγον τὰ ἔτη κατὰ τὴν τῆς σελήνης φορὰν δωδεκάμηνα ποιȣ̃ντες, καὶ περὶ τὴν θερινὴν τροπὴν τȣ́των ἀρχόμενοι. τῶν δὲ μηνῶν ἕκαςον πρότερον μὲν τριακονθήμερον, ὕςερον δὲ τȣ̀ς μὲν πλήρεις, τȣ̀ς δὲ κοίλȣς καὶ μιᾷ τῶν ἄλλων ἡμέρᾳ λειπομένȣς ἐναλλὰξ παρ' ἕνα συνεςήσαντο. οἱ δ' αὐτοὶ ȣ̃τοι καὶ τῇ ἐννεακαιδεκαετηρίδι χρώμενοι, ἐποίȣν ἐμβόλιμον τὸ γ', ε'. η'. ια'. ιδ'. ις'. ιθ', ἔτος ταύτης τῆς περιόδȣ, προςεθέντες ἑκάςῳ τȣ́των ἐφεξῆς τȣ̃ Ποσειδεῶνος καὶ ἕτερον μῆνα τριακονθήμερον καλȣ́μενον Ποσειδεῶ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

β΄. ἢ ὕστερον, (α) πρὸς ἐξίσωσιν τῆς σεληνιακῆς κινήσεως τῇ ἡλιακῇ, καὶ ἀποκατάστασιν τῶν νουμηνιῶν τε καὶ πανσελήνων ἐπὶ τοῦ αὐτοῦ τῷ προτέρῳ χρόνου.

## Περὶ ἀπαριθμήσεως τῶν ἡμερῶν κατ᾽ ἀθηναίους.

Ἠρίθμουν δὲ τὰς ἡμέρας τριχῇ διαιροῦντες τὸν μῆνα. καὶ τὸ μὲν Ἱστάμενον, τὸ δὲ μεσοῦν, τὸ δὲ φθίνον λέγοντες. τὰς τοίνυν ἡμέρας ἐξ ἑνὸς τούτων τῶν τριῶν μερῶν τῆς διαιρέσεως ἐσήμαινον τῷ ἀναλογοῦντι ἑκάστῃ τακτικῷ ὀνόματι προσχρώμενοι, πλὴν τῆς πρώτης, ἣν ἐκάλουν νουμηνίαν, καὶ τῆς ἐσχάτης, ἥτις ἕνη καὶ νέα (β) ἢ τριακὰς λέγεται. ἐπὶ δὲ τοῦ τρίτου τμήματος ἢ προσιθέντες ὡς κἂν τοῖς ἄλλοις, ἢ ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τῆς τριακάδος κατὰ τὸ ἑξῆς διάγραμμα.

| Μῆνες Ἀθηναίων. | | |
|---|---|---|
| | Ἑκατομβαιών. | 29. |
| | Μεταγειτνιών. | 30. |
| | Βοηδρομιών. | 29. |
| | Μαιμακτηριών. | 30. |
| | Πυανεψιών. | 29. |
| | Ποσειδεών. | 30. |
| | Γαμηλιών. | 29. |
| | Ἀνθεστηριών. | 30. |
| | Ἐλαφηβολιών. | 29. |
| | Μουνιχιών. | 30. |
| | Θαργηλιών. | 29. |
| | Σκιῤῥοφοριών. | 30. |

(α) Πτολεμ. μεγ. συντ. βίβλίῳ δ΄. Ἄρχοντος Ἀθήνησιν Εὐάνδρου μηνὸς ποσειδεῶνος προτέρου.

(β) ὃ ἐστὶ παλαιὰ καὶ νέα, ἅτε δὴ πρός τε τὴν παρωχηκυῖαν καὶ τὴν ἐπελθοῦσαν σελήνην ἀνήκουσα.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Επ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

1. Νυμηνία.

| | | |
|---|---|---|
| 2. | Δευτέρα | Ἱσαμένου μηνὸς, ἢ ἀρχομένου. |
| 3. | Τρίτη | |
| 4. | Τετάρτη | |
| 5. | Πέμπτη | |
| 6. | Ἕκτη | |
| 7. | Ἑβδόμη | |
| 8. | Ὀγδόη | |
| 9. | Ἐννάτη | |
| 10. | Δεκάτη | |

| | | |
|---|---|---|
| 11. | Πρώτη. | Μεσοῦντος μηνὸς, ἢ ἐπὶ δεκάτη. ἢ δεκάδι. |
| 12. | Δευτέρα. | |
| 13. | Τρίτη. | |
| 14. | Τετάρτη. | |
| 15. | Πέμπτη. | |
| 16. | Ἕκτη. | |
| 17. | Ἑβδόμη. | |
| 18. | Ὀγδόη. | |
| 19. | Ἐννάτη. | |

20. Εἰκὰς, ἢ εἰκοσή.

| | | | |
|---|---|---|---|
| 21. | Δεκάτη. | Φθίνοντος μηνὸς. ἢ Ἐπὶ εἰκάδι, ἢ μετὰ εἰκάδα. | Πρώτη. |
| 22. | Ἐννάτη. | | Δευτέρα. |
| 23. | Ὀγδόη. | | Τρίτη. |
| 24. | Ἑβδόμη. | | Τετάρτη. |
| 25. | Ἕκτη. | | Πέμπτη. |
| 26. | Πέμπτη. | | Ἕκτη. |
| 27. | Τετάρτη. | | Ἑβδόμη. |
| 28. | Τρίτη. | | Ὀγδόη. |
| 29. | Δευτέρα. | | Ἐννάτη. |
| 30. | Ἕνη καὶ νέα. | | Ἕνη καὶ νέα. Ἡ τριακάς. |



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Πλήρυς μὲν ὄντος τῦ μηνὸς ἡ μετὰ τὴν
εἰκάδα, λέγεται δεκάτη, κοίλυ δὲ, ἐννάτη.

Πέμπτη, τετρὰς, τρίτη, μετὰ ταύτην δευτέρα.
Εἶθ' ἣν ἐγὼ μάλιςα πασῶν ἡμερῶν
Δέδοικα, πέφρικα, ϗ βδελύττομαι.
Εὐθὺς μετὰ ταύτην ἔσθ' ἔνη ϗ νέα.

(Ἀρισοφ. ἐν νεφέλαις.)

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ ἔτυς Μακεδονικῦ.

Τὸ τῶν Μακεδόνων ἔτος πρότερον μὲν ὑπῆρχε σεληνιακὸν ὡς ϗ τῶν ἀθηναίων, πλὴν ὅσον ἐπὶ τῇ τάξει τῶν μηνῶν, ϗ τοῖς τύτων ὀνόμασι διέφερε, τῦ πρώτυ τῶν παρὰ μακεδόσι μηνῶν τῷ μαιμακτηριῶνι συμπίπτοντος· ὕςερον δὲ ἡλιακὸν παραπλήσιον τῷ ῥωμαϊκῷ ἀρχόμενον ἐκ τῆς πρώτης Ἰανναρίου, ὃς δὴ κατά τινας συμπίπτει τῷ Αὐδιναίῳ· ἀλλ' ἐπεὶ ὐχ ἡ τυχῦσα διαφορὰ εὑρίσκεται ἐν τοῖς τῶν μηνῶν ὀνόμασιν, ἄλλως τύτυς καλύντων τῶν Συρομακεδόνων, ϗ ἄλλως Βιθυνῶν, ϗ ἄλλων· ἐκκείσθωσαν ἐφεξῆς τριχῶς τὰ τύτων ὀνόματα, ϗ αἱ ἡμέραι τῶν ῥωμαϊκῶν μηνῶν καθ' ἃς ἤρξαντο.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

**Μῆνες Μακεδόνων, καὶ Συρομακεδόνων.**

Ὑπερβεταῖος.
Δῖος.
Ἀπελλαῖος.
Αὐδιναῖος.
Περίτιος.
Δρύςος.
Ξανθικός.
Ἀρτεμίσιος.
Δαίσιος.
Πάναιμος.
Λῶος.
Γορπιαῖος.

**Μῆνες Παφίων.**

Ἀφοδίσιος.
Ἀπογονικός.
Αἰνικός.
Ἴκλος.
Καισάριος.
Σεβαςός.
Αὐτοκρατορικός.
Δημεξαρχικός.
Πληθύπατος.
Ἀρχιερεύς,
Ἔσθιος.
Ῥωμαῖος.

**Μῆνες Βιθυνῶν.**

Ἥρεως.
Ἕρμειος.
Μητρῶος.
Διονύσιος.
Ἡράκλειος.
Δῖος.
Βενδιδαῖος.
Στρατήγιος.
Ἄρειος.
Περιέπιος.
Ἀφροδίσιος.
Δημήτριος.

**Αἱ ἡμέραι τῶν ῥωμ. μηνῶν καθ᾽ ἃς ἄρχονται.**

| | | |
|---|---|---|
| 24. | Σεπτ. | ζυγός. |
| 24. | Ὀκτ. | σκορπίος. |
| 23. | Νοέμ. | τοξότ. |
| 24. | Δεκ. | αἰγ. |
| 23. | Ἰαν. | ὑδροχ. |
| 22. | Φευρ. | ἰχθ. |
| 25. | Μαρ. | κριός. |
| 25. | Ἀπρ. | ταῦρος. |
| 25. | Μάϊος. | διδ. |
| 25. | Ἰούν. | καρκ. |
| 25. | Ἰούλ | λέων. |
| 25. | Αὔγ. | παρθ. |

Οἱ μὲν Μακεδόνες ἄρχονται ἐκ τοῦ Δίου, οἱ δὲ Συρομακεδόνες ἐκ τοῦ Ὑπερβεταίου.

## Περὶ ἔτους Ἰουδαϊκοῦ.

ᾯ, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις χρῶνται οἱ Ἰουδαῖοι ἔτει, σεληνιακὸν ἐστὶν, ἀρχόμενον ἐκ τῆς προσεχοῦς νουμηνίας τῇ ἐαρινῇ Ἰσημερίᾳ· τούτου τὸ μὲν κοινὸν δωδεκάμηνον, τὸ δὲ ἐμβόλιμον τρισκαιδεκάμηνον, τῶν τε μηνῶν οἱ μὲν τριακονθήμεροι, ἢ πλήρεις, οἱ δὲ κοῖλοι καὶ μιᾷ ἐλλείποντες ἐναλλὰξ παρ' ἕνα· οὗτοι ποιοῦσιν ἐπὶ τῆς ἐννεακαιδεκαετηρίδος ἐμβόλιμα τὸ τρίτον, ἕκτον, ὄγδοον, δέκατον πρῶτον, δέκατον τέταρτον, δέκατον ἕβδομον, δέκατον ἔννατον· οὔπω μέντοι δῆλον, εἰ καὶ ἐπὶ Μωσέως τῷ αὐτῷ ἢ παραπλησίῳ ἐχρῶντο ἔτει, καὶ ἐκ τῶν αὐτῶν μηνῶν κατὰ τὰ αὐτὰ συνισταμένῳ· ἐν γὰρ ταῖς Ἱεραῖς βίβλοις ἔνθα ὁ λόγος περὶ τῶν κατ' αὐτοὺς ἑορτῶν πρῶτος καὶ ἕβδομος, μὴν ἁπλῶς λέγεται· ἀλλ' οὐδὲν παρὰ τοῦτο ἐν ἐκείναις περὶ μηνῶν εὑρίσκεται σαφέστερον, Φέρεται μέντοι κοινότερον, ὅτι ἐν τοῖς Σελευκιδῶν χρόνοις, οὐ πολλῷ ὕστερον Ἀλεξάνδρου τοῦ Μακεδόνος τοῖς σεληνιακοῖς ἐχρήσαντο ἔτεσιν, ὡς ἐκεῖνοι, καίτοι διενηχόσι, τῇ τε τάξει καὶ τοῖς ὀνόμασι, τῶν μηνῶν.

## Περὶ ἔτους Ἀραβικοῦ.

Καὶ τὸ τῶν Ἀράβων δὲ, καὶ Τούρκων ἔτος σεληνιακὸν ἐστὶ, τὸ μὲν κοινὸν δωδεκάμηνον, τὸ δὲ ἐμβόλιμον τρισκαιδεκάμηνον πλήρεις, καὶ κοίλους ἔχοντα τοὺς μῆνας ἐναλλάξ.

Μῆνες Ἰουδαϊκοί. | Μῆνες Ἀραβικοί.

| | | | | |
|---|---|---|---|---|
| Σεπτ. 1. | Τισρὶ ἢ | 30. | Μυαρὰμ | 30. |
| | Θερσὶ | | Σαφὰρ | 29. |
| | Θεελὶφ | | Ῥαβνὲ α΄. | 30. |
| 2. | Μαρσουὰμ | 29. | Ῥαβιὲ β΄. | 29. |
| | Μαρχεσουὰν | | Γιυμαδὶ α΄. | 30. |
| 3. | Χασλεὺ | 30. | Γιυμαδὶ β΄. | 29. |
| | Κισλεὺ | | Ῥαγιὰβ | 30. |
| 4. | Τιβὶτ | 29. | Σααβὰν | 29. |
| 5. | Σαββὰτ | 30. | Ῥαμαδὰν | 30. |
| 6. | Ἀδὰρ | 29. | Σχεβὰλ | 29. |
| | Βεαδὰρ | 30. | Δυλκαϊδὰδ | 30. |
| | ἐν τοῖς ἐμβολίμοις. | | Δουλεϊὰ | 29. |
| 7. | Νισὰν | 30. | καὶ | 30 |
| 8. | Ἰὰρ | 29. | ἐν τῷ κατ᾽ αὐτοὺς ἐμβολίμῳ ἔτει. | |
| 9. | Σιβὰν | 30. | | |
| | Σουϊὰν | | | |
| 10. | Ταμὺζ | 29. | | |
| | Θαμυὶ | | | |
| 11. | Ἀβ | 30. | | |
| | Ἀρὶ | | | |
| 12. | Ἐλὺλ | 29. | | |
| | Εἰλύ. | | | |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

| | Μῆνες κατὰ Ναβονασὰρ ἀρχόμενοι ἐκ τῆς κζ΄. Φευρουαρίου ἀνὰ 30ἡ ϛ ἐπαγ. | Μῆνες Αἰγυπτίων ἀρχομένων ἐκ τῆς κθ΄. αὐγούστου, ἀνὰ 30ἡ ϛ ἐπαγ. | Μῆνες Αἰθιόπων ἀρχόμενοι ἐκ τῆς κθ΄. αὐγούστου ἀνὰ 30ἡ ϛ ἐπαγ. | | Μῆνες Περσῶν ἀρχόμενοι ἐκ τῆς ιϛ΄. Ἰουνίου ἀνὰ 30ἡ ϛ ἐπαγ. | Μῆνες Σύρων ἀνὰ ἡμ. 30. ἢ 31. | |
|---|---|---|---|---|---|---|---|
| Ἰαν. | μεσορί. | μεχείρ | ἰακατὶτ | 29. | ἀβάν. | κανὺν β΄. | 31. |
| Φευ. | α΄. θώθ. | Φαμενὼθ | μαγαβίτ. | 25. | ἀδάρ. | σαβάτ. | 28. |
| Μάρ. | παοφὶ | φαρμοῦθι | μυιαζία. | 27. | Δί. | ἀδάρ. | 31. |
| Ἀπρ. | ἀθὺρ | παχὼν | γινβὰτ | 26. | βεεμάν. | νισάν. | 30. |
| Μάϊος. | χοιάκ. | παυνὶ | σὺνε | 26. | ἀσπίρερ. | αἴουάρ. | 31. |
| Ἰούν. | τιβὶ | ἐπιφὶ | ἄμλε | 25. | α΄. Φερβαρδίν. | ναζιράμ. | 30. |
| Ἰούλ. | μεχεὶρ | μεσορὶ | ναχάσε | 25. | ἀρδαβαές. | ταμοὺζ. | 31. |
| Αὔγ. | Φαμενώθ | α΄. θὼθ | μασκαρὰμ | 29. | καρδάδ. | ἀβ. | 31. |
| Σεπτ. | Φαρμοῦθι | παοφί | τυκὶμτ | 28. | Ἐσφανδαρμόδ. | α΄. ἐλούλ. | 30. |
| Ὀκτ. | παχών | Ἀθύρ | ὑδὰρ | 28. | μορδάδ. | τισρὶν α΄. | 31. |
| Νοέμ. | παυνὶ | χοιάν | τυσὰς. | 27. | σχαχριβάρ. | τισρὶν β΄. | 30. |
| Δεκ. | ἐπιφὶ | τυβὶ | τύρ. | 27. | μεχέρ. | κανὺν α΄. | 31. |

Ὁ τῶν ἀριθμητικῶν χαρακτήρων στίχος δείκνυσι κατὰ τίνα τῶν ἡμερῶν τῶν ῥωμαϊκῶν μηνῶν λαμβάνονται αἱ ἀρχαὶ ἑκάστου τῶν κατ᾽ Αἰγυπτίους καὶ Αἰθίοπας μηνῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΒΙΒΛΙΟΝ Β'.

## Περὶ περιόδων χρονικῶν.

## Περὶ πεντεκαιδεκαετηρίδος, ἥτις Ἐπινέμεσις, κ̀ Ἰνδικτιὼν κοινότερον λέγεται.

### Ὅρος κδ'.

Ἰνδικτιὼν ἐςὶ περίοδος δεκαπέντε ἐτῶν συνεχῶς ἐπαναςρέφυσα. ὑπάρχει δὲ τριττὴ, Καισάρεια εἴτυν βασιλικὴ, Ῥωμαϊκή, καὶ ἡ τῆς Κωνςαντινυπόλεως. ὧν ἡ μὲν ἄρχεται ἐκ καλενδῶν Ὀκτωβρίυ ἡ δὲ ἐκ καλενδῶν Ἰανναρίου, ἡ δὲ ἐκ καλενδῶν Σεπτεμβρίου· ὐ μόνον δὲ ἡ περίοδος πᾶσα τοιύτῳ καλεῖται ὀνόματι. ἀλλὰ κ̀ ἕκαςον τῶν ἐν αὐτῇ ἐτῶν τῦ αὐτῦ μετέχει ὀνόματος, προσαγορευόμενον Ἰνδικτιὼν, οἷον τὸ πρῶτον, πρώτη Ἰνδικτιὼν, τὸ δεύτερον, δευτέρα ἰνδικτιὼν, κ̀ ἐπὶ τῶν λοιπῶν ὁμοίως.

### Σχόλιον.

Ὅσοι ὑπειλήφασιν ἐξ Αὐγύςυ Καίσαρος τὴν περίοδον ταύτην εἰληφέναι τὴν ἀρχὴν, βύλονται σημαντικὴν ὑπάρχειν τὴν τοιαύτην φωνὴν τῆς ἐν Ἀκτίῳ νίκης. κατὰ παραφθορὰν δὲ λέγεσθαι ἰνδικτιὼν ἀντὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.ΦΙΛΟΣ Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῦ in actio. ἐκεῖνος γὰρ ἐν Ἀκτίῳ τῆς ἠπείρυ Ἀντώνιον ϗ Κλεοπάτραν τροπωσάμενος, καὶ ἀείμνηςον τὴν νίκην ταύτην ποιῆσαι βυλόμενος, τὴν τοιαύτην περίοδον ἔθετο καλέσας in actio, ὅ ἐςὶν ἐν Ἀκτίῳ. οἱ δὲ ἐκ Κωνςαντίνυ, ἢ Βάλειτος εὑρεθῆναι δοξάζοντες, ὐχὶ τῦτο σημαίνειν ἐθέλυσιν, ἀλλὰ τὸ διάταγμα. ἀρχομένης γὰρ κατὰ πᾶν ἔτος τῆς Ἰνδικτιόνος ἡ τῶν δασμῶν διετάττετο εἴσπραξις. Τὴν ἀπὸ καλ. Σεπτ. ἀρχομένην ἰνδικτιόνα οἱ οἰκυμενικοὶ πατριάρχαι ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις ἐγχαράττυσιν ἐνίοις τισὶ τῶν γραμμάτων, εἶναι ὠλιγώρηται ὑπότινων.

# Πρόβλημα δέκατον.

Δοθέντος τινὸς ἔτυς τὴν Ἰνδικτίονα εὑρεῖν.

Εἰ ϗ πάντες ὁμοίως Ἀνατολικοί τε ϗ Δυτικοὶ τῇ Ἰνδικτιόνι κέχρηνται, καὶ ταῖς ἐφεξῆς περιόδοις, ἐφαρμόττοντες ταύτας τοῖς ἔτεσι, καὶ κατὰ ταύτας ἐκεῖνα χαρακτηρίζοντες. ἀλλ᾽ ὖν γε ὐ συμφώνως χωρῦσιν ἑκάτεροι περὶ τὴν εὕρεσιν, ϗ γὰρ ὐδὲ ἡ αὐτὴ ἑκατέροις ἡ περὶ αὐτὰς ὑπόθεσις. ῥητέον πρῶτον τῷ τρόπῳ οἱ Δυτικοὶ τὰς Ἰνδικτιόνας εὑρίσκυσιν, ἡ γὰρ κατὰ τὺς Ἀνατολικὺς εὕρεσις ῥάςη τις ἂν εἴη ϗ πρόχειρος, περὶ ἧς εἰσέπειτα. τῷ δοθέντι ἔτει συναφθήτω ὁ 3, ὁ δὲ ἐξ αὐτῶν ἀριθμὸς διαιρεθήτω ἐπὶ τὸν 15, ϗ τὸ ἐναπολειφθὲν τὴν Ἰνδικτιόνα ἐνδείξεται. κἂν ὐδὲν ἐναπολειφθῇ, ιέ.

ἔσαι Ἰνδικτιών. οἷον δοθέντος ἔτους τῦ ᾳψογ΄. συνῆπται ὁ 3 τῷ 1773, ὁ δὲ ἐξ αὐτῶν 1776 διήρηται ἐπὶ τὸν 15, ϗ ἐπεὶ ἐναπελείφθη ὁ 6, ἰνδικτιόνα ϛ΄. κατὰ τὺς Δυτικὺς τῦτο τὸ ἔτος ἔχειν παρίστησιν. ἡ πρᾶξις τὸ πισὸν ἔχει ἐξ ὑποθέσεως, ἡ δὲ ὑπόθεσις ἔθει τε καὶ παραδόσει ἐρείδεται. λαβόντες γὰρ ἐκεῖνοι ἐγνωσμένον ἐκ παραδόσεως, ἔντι τῶν πρὸ τύτυ ἐτῶν, ὅπερ ἂν ἔχοι Ἰνδικτιόνα ιε΄. οἷον ἐσὶ ϗ τὸ ᾳχλβ΄. ϗ διαιρῦντες τὸν 1632 ἐπὶ τὸν 15, ἐπεὶ ἐναπολείπεται ὁ 12, συνάγυσιν ἑπομένως ὅτι τὸ ιβ΄. τῶν ἀπὸ τῆς Θείας ἐνανθρωπήσεως ἐτῶν ιε΄. ἔσχεν Ἰνδικτιόνα. εἰδὲ τῦτο πρόδηλον ὅτι τὸ πρῶτον τῶν πρὸ αὐτῆς ἔσχε τρίτην. τὸ δεύτερον, β΄. τὸ δὲ τρίτον πρώτην, διά τοι τῦτο τὸν 3 τῷ δοθέντι προσιθέντες ἔτει τὸν ἐξ αὐτῶν διαιρῦσιν ἐπὶ τὸν 15. οἱ δ᾽ αὐτοὶ θηρεύυσι ϗ τῶν πρὸ ἐκείνης ἐτῶν τὰς Ἰνδικτιόνας προσιθέντες τὸν 11 ἀριθμὸν τῷ δοθέντι ἔτει, τὸν δὲ γινόμενον διαιρῦντες ἐπὶ τὸν 15, καὶ τελευταῖον τὸ ἐναπολειπόμενον ἀφαιρῦντες ἐξ αὐτῦ. εἰ γὰρ ϗ ὐκ ἦν ἐν χρήσει ἡ περίοδος αὕτη τοῖς ἐν ἐκείνοις τοῖς ἔτεσι βεβιωκόσιν, ὐδὲν μέν τοι κωλύει, ὡς εἴγε ἦν, ζητεῖν ϗ ἐπ᾽ ἐκείνων τὰς Ἰνδικτιόνας. οἷον δεδόσθω τὸ πρὸ τῦ τῆς Θείας ἐνανθρωπήσεως τρίτον, συναπτομένου τοῦ 3, τῷ 11, γίνεται ὁ 14, ὗτος ἀφαιρύμενος ἀπὸ τῦ 15, ἐναπολείπει μονάδα, ὥστε τὸ ῥηθὲν ἔτος ἔσχε πρώτην Ἰνδικτιόνα. αὖθις δεδόσθω τὸ πρὸ τῦ τῆς θείας ἐναν. ν΄. συναπτομένου τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Γ.Α τμ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

11 τῷ 50, ἀναφύεται ὁ 61, τούτου διαιρεθέντος ἐπὶ τὸν 15, ἐναπολειφθήσεται μονάς. ἥτις ἀφαιρουμένη τοῦ 15, ἐναπολείπει τὸν 14. τῆς ιδ', Ἰνδικτιόνος παραστικόν· προστίθεται δὲ τῷ δοθέντι ὁ 11. ὅτι ὑποτεθέντος τοῦ πρὸ τῆς θείας ἐνανθρωπήσεως γ'. ἔτους πρώτης Ἰνδικτιόνος, ἔσται τὸ ἐν ᾧ ἡ θεία ἐνανθρώπησις δ'. τὸ δὲ μετ' αὐτὸ ιά. ιέ. ταῦτ' ἄρα συναπτόμενος ὁ 11 ἀριθμὸς τῷ πρὸ τοῦ τῆς θείας ἐνανθρωπήσεως δοθέντι ἔτει, καὶ τοῦ γινομένου ὡς ἐπὶ τοῦ πρώτου ὑποδείγματος, ἢ τοῦ ἐναπολειπομένου μετὰ τὴν διαίρεσιν ὡς ἐπὶ τοῦ δευτέρου, ἀφαιρουμένου ἐκ τοῦ 15, εὑρίσκεται κατὰ τοὺς Δυτικοὺς ἡ ζητουμένη Ἰνδικτιών.

## Περὶ εἰκοσιοκτωετηρίδος, ἥτις καὶ ἡλίου κύκλοι ὀνομάζεται.

### Ὅρος κέ.

Ἡλίου κύκλοι περίοδος ἐστὶν ὀκτὼ καὶ εἴκοσιν ἐτῶν, ὧν παρελθόντων αἱ κυριακαὶ ἑκάστου ἔτους ταῖς αὐταῖς συμπίπτουσιν ἡμέραις τῶν μηνῶν, αἷς καὶ πρότερον, καὶ ἡ αὐτὴ ἐπάνεισι τάξις τῶν χαρακτηριστικῶν στοιχείων τῶν κυριακῶν. σημαίνεται δὲ τῇ αὐτῇ προσηγορίᾳ καὶ ἡ ὅλη περίοδος, καὶ ἑκάστου τῶν ἐν αὐτῇ ἐτῶν.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Σχόλιον.

Εἰς σαφεστέραν μέντοι κατάληψιν τῶν εἰρημένων ληπτέον ὅτι, ἐπεὶ τὸ Ῥωμαϊκὸν ἔτος ἐστὶ διττὸν, κοινὸν καὶ βίσεκτον, τὸ μὲν κοινὸν ἅτε δὴ ἐκ πέντε καὶ ἑξήκοντα πρὸς ταῖς τριακοσίαις ἡμέραις συνεστηκὸς, ἢ ἐξ ἑβδομάδων δύο καὶ πεντήκοντα, καὶ ἡμέρας μιᾶς· ἐξ οἵας ἂν ἡμέρας ἄρξηται εἰς τοιαύτην καὶ λήξει, δὸς εἰπεῖν, ἐὰν ἐκ κυριακῆς, εἰς κυριακήν. τὸ δ᾿ ἐφεξῆς τούτῳ ἄρξεται ἐκ δευτέρας. Εἰ τοίνυν ὑποτεθῶσιν, ὡς δὴ καὶ ὑποτέθεινται τοῖς Δυτικοῖς τὰ ἑπτὰ πρῶτα τῶν εἰκοσιτεσσάρων γραμμάτων, a. b. c. d. e. f. g. χαρακτηριστικὰ τῶν τῆς ἑβδομάδος ἡμερῶν, καὶ κατὰ σειρὰν αὐταῖς προσγραφῶσιν, ὡς ἔχουσιν ἐπὶ τῶν χρονολογικῶν πινάκων κατ᾿ ἐπανάληψιν συνεχῆ, ἕκαστον τούτων τὴν προσκληρωθεῖσαν αὐτῷ ἡμέραν ἐνδείξεται. ἀλλ᾿ ὅπερ ἦν ἐπὶ τοῦδε τοῦ ἔτους χαρακτηριστὸν τῆσδε τῆς ἡμέρας, φέρ᾿ εἰπεῖν κυριακῆς, οὐκέτι τὸ αὐτὸ ἔσται καὶ ἐπὶ τοῦ ἐφεξῆς ἔτους, ἀλλ᾿ ἕτερόν τι τούτων τῶν ἑπτά· τούτου καὶ ἐπὶ τῶν ἄλλων συμβαίνοντος πρόδηλον, ὡς εἴπερ κοινὰ πάντα ἦσαν τὰ ἔτη, ἐπὶ τῆς αὐτῆς ἂν ἐπανέλθοι τάξεως τὰ στοιχεῖα μετὰ ἑπταετίαν, καὶ τῶν αὐτῶν ἡμερῶν, ὧν καὶ πρότερον εἶεν ἂν χαρακτηριστικά. Ἐπεὶ δὲ καθ᾿ ἑκάστην τετραετίαν παρεμπίπτοντα τὰ βίσεξτα, διακόπτουσι τὴν τοιαύτην σειράν. πρὸς δὲ, καὶ διὰ τὴν προσθήκην τῆς ἐμβολίμου ἡμέρας, δύο λαμβάνουσι στοιχεῖα χαρακτηριστικὰ τῆς κυριακῆς, τὸ μὲν ἀπὸ τῆς πρώτης Ἰανουαρίου ἄχρι τῆς κε΄. Φευρουαρίου, τὸ

ΙΩΑΝΝΙΝΑ 2006

δὲ ἀπὸ ταύτης μέχρι τῆς ἐσχάτης δεκεμβρίου, ἀνάγκη ἑπταπλασιασθῆναι τὴν τετραετίαν, ἵνα ἐπὶ τῆς αὐτῆς τάξεως ἐπανέλθωσι τὰ στοιχεῖα· οὕτω γὰρ συνδυασθήσεται πάντα ταῦτα, καὶ ἐπὶ τὸν πρῶτον εἱρμὸν ἐπανήξουσιν. Ἔστω γὰρ τὸ μὲν a. χαρακτηριστὸν κυριακῆς, τὸ b. δευτέρας, καὶ τὰ λοιπὰ ἐφεξῆς μιᾶς τινὸς τῶν ἐφεξῆς ἡμερῶν ἄχρι τοῦ σαββάτου, οὗ ἔσται χαρακτηριστικὸν τὸ g, τὸ δὲ ἔτος ἄρξασθαι ἐκ κυριακῆς οἷον ὑπῆρξε τὸ ͵αψοβʹ. Ἐπεὶ τοίνυν τὸ a. ἐπὶ τούτου τοῦ ἔτους ὑπόκειται χαρακτηριστικὸν εἶναι κυριακῆς, πᾶσαι αἱ ἡμέραι, αἷς αὐτὸ πρόσκειται, ἐλογίσθησαν ἂν κυριακαί. εἴγε τὸ αὐτὸ ἔτος ἦν κοινὸν, καὶ ἑπομένως ἔληξεν ἂν εἰς κυριακήν· ταῦτ᾽ ἄρα τὸ ͵αψογʹ. ἦρχετ᾽ ἂν ἐκ δευτέρας, καὶ τὸ a. ἐπὶ τοῦδε τοῦ ἔτους μετέπιπτεν ἂν εἰς τὸ b. εἶναι σημαντικὸν, τὸ δὲ g, κυριακῆς· μετὰ δὲ τοῦτο ἐπὶ τοῦ ἑξῆς ἔτους τὸ f. μεθ᾽ ὃ τὸ e. εἶτα τὸ d. καὶ c, καὶ b, μεθ᾽ ὃ αὖθις τὸ a. ἐξ ὑπαρχῆς, καὶ τὰ λοιπὰ ὡς πρότερον. ἐπεὶ δὲ βίσεξτον τὸ ἔτος ἐκεῖνο ὑπῆρξεν, οὐ διήρκεσεν ἐπὶ παντὸς τοῦ ἔτους τὸ a. χαρακτηριστικὸν εἶναι κυριακῆς, ἀλλὰ μέχρι τῆς κέ. Φευρουαρίου. αὕτη γὰρ οὖσα σάββατον, μετέπεσε διὰ τὴν προσθήκην εἰς κυριακὴν, τό, τε προσκείμενον ταύτῃ g. εἰς τὸ χαρακτηριστικὸν εἶναι κυριακῆς μέχρι τέλους τοῦ ἔτους. ἀλλὰ τοῦτο τὸ ἔτος λῆξαν εἰς δευτέραν, ὡς βίσεξτον, ἀρχὴν τοῦ μετ᾽ αὐτὸ ἔτους τὴν τρίτην, καὶ τὸ f. χαρακτηριστικὸν ἐπ᾽ αὐτοῦ τῆς κυριακῆς εἶναι πεποίηκε. διὰ τὸν αὐτὸν λόγον μετὰ τὸ f. ἔσται τὸ e, μετὰ τὸ e. τὸ

d, ϗ c, ϗ b, καὶ καθεξῆς μέχρι τῆς ἀποκαταστάσεως τῶν αὐτῶν στοιχείων ἐπὶ τῆς προτέρας τάξεως, ἥτις ἀποτελεῖται ἐν ἔτεσιν ὀκτὼ πρὸς τοῖς εἴκοσιν. ὅθεν ϗ ἡ περίοδος αὕτη ἡλίου κύκλοι ὠνόμασται, ὅτι κατ' αὐτὴν ἐπάνεισι τὸ χαρακτηριστικὸν στοιχεῖον τῆς κυριακῆς, ἐφ' ἧς ἐν ἀρχῇ ἔλαχε τάξεως, τῷ προσκεκληρῶσθαι ὑπὸ τῶν ἀρχαίων τῷ ἡλίῳ τὴν κυριακὴν, ϗ ἡμέραν ἡλίου προσαγορευθῆναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Πρόβλημα δέκατον πρῶτον.

### Τοῦ ἔτους δοθέντος τοὺς τοῦ Ἡλίου κύκλους εὑρεῖν· ϗ τὸ τῆς κυριακῆς χαρακτηριστικὸν στοιχεῖον ὁρίσαι κατὰ τοὺς Δυτικούς.

Οἱ Δυτικοὶ τὴν ἀρχὴν τῶν τοῦ Ἡλίου κύκλων ἀπὸ τοῦ πρὸ τοῦ τῆς θείας ἐνανθρωπήσεως ἐννάτου λαμβάνοντες, ὃ δὴ βίσεξτον λογίζεται, καὶ δυσὶ στοιχείοις GF. κατ' αὐτοὺς χαρακτηρίζεται, τῶν τε πρὸ τῆς θείας ἐνανθρωπήσεως, ϗ τῶν μετ' αὐτὴν ἐτῶν τοὺς κύκλους θηρεύουσι προσθέσει, ϗ ἀφαιρέσει τοῦ ἐννέα ἀριθμοῦ· ἐὰν γὰρ τὸ δοθὲν ἔτος ὑπάρχῃ τῶν μετ' ἐκείνην, προστιθέντες τούτῳ τὸν 9, τὸν ἐξ ἀμφοῖν διαιροῦσιν ἐπὶ τὸν 28, ϗ τὸν ἐναπολειπόμενον ἀριθμὸν λαμβάνουσι τῶν τοῦ ἡλίου κύκλων σημαντικόν· μηδενὸς δὲ λειπομένου μετὰ τὴν διαίρεσιν, ἔσται ὁ τοῦ ἡλίου κύκλος κη'. ἐπὶ τοῦ ἔτους ἐκείνου· οἷον ἐπὶ τοῦ ᾳψογ. συναπτομένου τοῦ 1773 τῷ 9, τοῦ δὲ ἐξ αὐ-

ΕΛΙΑ τ.Π.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

τῶν 1782 διαιρουμένου ἐπὶ τὸν 28, ἐπεὶ ἐναπολείπεται ὁ 18, τὸν δέκατον ὄγδοον τοῦ ἡλίου κύκλον τῷ ἔτει τούτῳ προσοικειοῦσι· τούτου δὲ γνωσθέντος καὶ τὸ τῆς κυριακῆς χαρακτηριστικὸν στοιχεῖον γενήσεται καταφανές· ἔσται γὰρ ὃ συντρέχει ἐπὶ τοῦ ἑξῆς κανονίου τῷ εὑρεθέντι κύκλῳ.

## Κανόνιον τῶν τοῦ Ἡλίου κύκλων κατὰ τοὺς δυτικούς.

| | | |
|---|---|---|
| GF. α'. | A. ια'. | D. κ'. |
| E. β'. | G. ιβ'. | CB. κα'. |
| D. γ'. | FE. ιγ'. | A. κβ'. |
| C. δ'. | D. ιδ'. | G. κγ'. |
| BA. ε'. | C. ιε'. | F. κδ'. |
| G. ϛ'. | B. ιϛ'. | ED. κε'. |
| F. ζ'. | AG. ιζ'. | C. κϛ'. |
| E. η'. | F. ιη'. | B. κζ'. |
| DC. θ'. | E. ιθ'. | A. κη'. |
| B. ι'. | | |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006